ἐν τῷ Περὶ τῆς ἱερείας προειπὼν εἰ μὲν ὑπὲρ ἰδίου τινὸς ἦν ὁ ἀγών, ἐδεόμην ἂν ὑμῶν μετ᾽ εὐνοίας ἀκοῦσαί μου· μετ᾽ ὀλίγον φησίν· νυνὶ δὲ αὐτοὺς ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς τῆς ἐμῆς παρακλήσεως.

**2.** Harpocr. s. v. ἐπιτελεοῦν καὶ ἐπιτελέωμα· ἀμ- **29**
φότερα πολλάκις ἐστὶ τὰ ὀνόματα ἐν τῷ Περὶ τῆς ἱερείας Λυκούργου· ἔοικε δὲ ἐπιτελέωμα λέγεσθαι τὸ ἐπὶ πᾶσι θυόμενον ὑπὲρ τοῦ ἐπιτελεῖς γενέσθαι τὰς πρότερον θυσίας. αὐτὸς γοῦν ὁ ῥήτωρ ἐν τῷ λόγῳ φησίν· ἔτι τοίνυν ἔφη πάντων ὕστατα ταῦτα θύεσθαι καὶ ἐπιτελεώματα εἶναι τῶν ἄλλων θυμάτων.

**3.** Harpocr. s. v. Μίκων· Λυκοῦργος ἐν τῷ Περὶ τῆς **30**
ἱερείας. καὶ Μίκωνα τὸν γράψαντα †ἕως τοὺς λ΄ μῆνας ἐζημίωσαν.

**4.** Suda s. v. συσσημαίνεσθαι· ὃ καλοῦσι κατα- **31**
σφραγίζεσθαι, τοῦτο οἱ ῥήτορες συσσημαίνεσθαι λέγουσι. Λυκοῦργος ἐν τῷ Περὶ ⟨τῆς⟩ ἱερείας· ὥστε προστεταγμένον ὑπὸ ψηφίσματος καὶ τὴν ἱέρειαν συσσημαίνεσθαι τὰ γραμματεῖα ..

**5.** Priscian. 18, 267 (p. 346,3 Hertz) *Attici* ‘περὶ τόσους’ **32**
καὶ ‘περὶ τόσοις’. – – *Lycurgus* ἐν τῷ Περὶ τῆς ἱερείας· ὡς περ⟨ὶ⟩ εἴκοσιν ἀνθρώποις ...